Κεφάλαιον β.

Ἔστω δὴ ἡ ὀργή, ὄρεξις μετὰ λύπης τιμωρίας φαινομένης, διὰ φαινομένην ὀλιγωρίαν τῶν εἰς αὐτόν, ἢ εἰς τῶν αὐτοῦ τινα μὴ προσηκόντως. εἰ δὴ τοῦτ' ἐστὶν ἡ ὀργή, ἀνάγκη τὸν ὀργιζόμενον ὀργίζεσθαι ἀεὶ τῷ καθ' ἕκαστόν τινι, οἷον Κλέωνι, ἀλλ' οὐκ ἀνθρώπῳ· καὶ ὅτι αὐτόν, ἢ τῶν αὐτοῦ τι πεποίηκεν, ἢ ἤμελλε· καὶ πάσῃ ὀργῇ ἕπεσθαί τινα ἡδονὴν τὴν ἀπὸ τῆς ἐλπίδος τοῦ τιμωρήσασθαι· ἡδὺ μὲν γὰρ τὸ οἴεσθαι τεύξεσθαι ὧν ἐφίεται. οὐδεὶς δὲ τῶν φαινομένων ἀδυνάτων ἐφίεται αὐτῷ, ὁ δ' ὀργιζόμενος ἐφίεται αὐτῷ δυνατῶν· διὸ καλῶς εἴρηται περὶ θυμοῦ·

Ὅστε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο,
Ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται·

ἀκολουθεῖ γὰρ καὶ ἡδονή τις διά τε τοῦτο, καὶ διότι διατρίβουσιν ἐν τῷ τιμωρεῖσθαι τῇ διανοίᾳ. ἡ οὖν τότε γινομένη φαντασία, ἡδονὴν ποιεῖ, ὥσπερ ἡ τῶν ἐνυπνίων. ἐπεὶ δ' ἡ ὀλιγωρία ἐστὶν ἐνέργεια δόξης περὶ τὸ μηδενὸς ἄξιον φαινόμενον· καὶ γὰρ τὰ κακὰ καὶ τἀγαθὰ ἄξια οἰόμεθα σπουδῆς εἶναι, καὶ τὰ συντείνοντα πρὸς ταῦτα· ὅσα δὲ μηδέν, ἢ πάνυ μικρόν, οὐδενὸς ἄξια ὑπολαμβάνομεν. τρία δ' ἐστὶν εἴδη ὀλιγωρίας, καταφρόνησίς τε καὶ ἐπηρεασμὸς καὶ ὕβρις· ὅ, τε γὰρ καταφρονῶν, ὀλιγωρεῖ· ἃ γὰρ οἴονται μηδενὸς ἄξια εἶναι, τούτων καταφρονοῦσι· τῶν δὲ μηδενὸς ἀξίων, ὀλιγωροῦσι· καὶ ὁ ἐπηρεάζων, φαίνεται καταφρονεῖν· ἔστι γὰρ ὁ ἐπηρεασμός, ἐμποδισμὸς ταῖς βουλήσεσιν, οὐχ ἵνα τι αὐτῷ, ἀλλ' ἵνα μὴ ἐκείνῳ. ἐπεὶ οὖν οὐχ ἵνα αὐτῷ τι ὀλιγωρεῖ· δῆλον γάρ, ὅτι οὔτε βλάψειν ὑπολαμβάνει· ἐφοβεῖτο γάρ, καὶ οὐκ ὠλιγώρει· οὔτ' ὠφελῆσαι ἂν οὐδὲν ἄξιον λόγου· ἐφρόντισε γὰρ ἂν ὥστε φίλος εἶναι. καὶ ὁ ὑβρίζων δέ, ὀλιγωρεῖ. ἔστι γὰρ ὕβρις, τὸ βλάπτειν καὶ λυπεῖν, ἐφ' οἷς αἰσχύνη ἐστὶ τῷ πάσχοντι, μὴ ἵνα τι γένηται αὐτῷ ἄλλο ἢ ὅ, τι ἐγένετο, ἀλλ' ὅπως ἡσθῇ· οἱ γὰρ ἀντιποιοῦντες, οὐχ ὑβρίζουσιν, ἀλλὰ τιμωροῦνται. αἴτιον δὲ τῆς ἡδονῆς τοῖς ὑβρίζουσιν, ὅτι οἴονται κακῶς δρῶντες αὐτοὺς ὑπερέχειν μᾶλλον. διὸ καὶ οἱ νέοι καὶ οἱ πλούσιοι, ὑβρισταί· ὑπερέχειν γὰρ οἴονται ὑβρίζοντες. ὕβρεως δὲ ἀτιμία· ὁ δ' ἀτιμάζων, ὀλιγωρεῖ. τὸ γὰρ μηδενὸς ἄξιον, οὐδεμίαν ἔχει τιμήν, οὔτε κακοῦ,

A CAPVT II.

Iam verò sit ira appetitio cum dolore coniuncta eius, quæ apparet, vltionis, propter eam, quæ apparet despicientiam vel in se, vel in suorum quempiam non conuenienter. Et quoniam talis est ira, necesse est, vt is, qui irascitur, irascatur semper singularium alicui, vt Cleoni, sed non homini. Et quia sibi, aut suorum alicui fecit, aut facturus fuit. Præterea verò, vt omnem iram consequatur aliqua vo-
B luptas ex spe vlciscendi. Iucundum enim est existimare se consecuturum esse, quæ appetit. Nemo autem quæ videntur fieri non posse, appetit. At qui irascitur, appetit quæ à se fieri possunt. Quam obrem rectè dictum est de ira, Dulcior effuso quæ melle in pectore crescit. Consequitur enim voluptas quædam & ex hoc,
C & ex eo, quia versantur in vlciscendo cogitatione. Quæ igitur tunc fit phantasia, voluptatem parit, vt quæ in somniis. Et quoniam despicientia est actus opinionis in eo, quod nihil æstimandum videtur (etenim mala, & bona digna arbitramur studio esse, & quæ referuntur ad hæc: quæ verò sunt nihil, aut admodum parua, nulla re digna existimamus) tres
D sunt species despicientiæ, contemptióque, & incommodatio, & contumelia. Qui enim contemnit, despicit: quæ enim arbitrantur nulla re digna esse, ea contemnunt. Quæ verò nulla re digna sunt, despiciunt. Et qui incommodat, videtur contemnere. Est enim incommodatio impedimentum, quod fit voluntatibus, non vt aliquid sibi eueniat, sed vt ne illi. Quoniam igitur non spectat, vt sibi ali-
E quid eueniat, despicit. Id enim manifestum est, quia nec obfuturum existimat (nam timeret, & non despiceret) nec profuturum vlla in re, quæ vllum habeat momentum. nam curaret, vt amicus esset. Et qui contumeliam infert, despicit. Est enim contumelia nocere, & molestum esse in iis, in quibus dedecus est patienti, non vt aliquid fiat sibi aliud, nisi quod fit, sed vt voluptatem percipiat. Etenim referentes
F non faciunt contumeliam, vel vlciscuntur. Caussa verò voluptatis est contumeliam facientibus, quòd arbitrantur malefaciendo se excellere magis. Quam ob rem iuuenes, & diuites contumeliosi sunt. excellere enim se arbitrantur, contumeliam inferendo. Contumeliæ verò est non æstimare. Et qui non æstimat, despicit. Quod enim nulla re dignum est, nullam habet æstimationem nec mali,